ὅταν ἐπιφανῇ, εὔοπτός ἐστιν· τὸ δ᾽ αὐτὸ καὶ πνεῦμα ἐν πάσῃ
61 χώρᾳ πνεῖ· [61]καὶ νεφέλαις ὅταν ἐπιταγῇ ὑπὸ τοῦ θεοῦ ἐπιπορεύ-
εσθαι ἐφ᾽ ὅλην τὴν οἰκουμένην, συντελοῦσι τὸ ταχθέν· τό τε πῦρ
ἐξαποσταλὲν ἄνωθεν ἐξαναλῶσαι ὄρη καὶ δρυμοὺς ποιεῖ τὸ συν-
62 ταχθέν. [62]ταῦτα δὲ οὔτε ταῖς ἰδέαις οὔτε ταῖς δυνάμεσιν αὐτῶν
63 ἀφωμοιωμένα ἐστίν. [63]ὅθεν οὔτε νομιστέον οὔτε κλητέον ὑπάρχειν
αὐτοὺς θεούς, οὐ δυνατῶν ὄντων αὐτῶν οὔτε κρίσιν κρῖναι οὔτε
64 εὖ ποιεῖν ἀνθρώποις. [64]γνόντες οὖν ὅτι οὔκ εἰσιν θεοί, μὴ φοβη-
θῆτε αὐτούς.

65 [65]Οὔτε γὰρ βασιλεῦσιν οὐ μὴ καταράσωνται οὔτε μὴ εὐλογή-
66 σωσι. [66]σημεῖά τε ἐν ἔθνεσιν ἐν οὐρανῷ οὐ μὴ δείξωσιν οὐδὲ ὡς
67 ὁ ἥλιος λάμψουσιν οὐδὲ φωτίσουσιν ὡς σελήνη. [67]τὰ θηρία ἐστὶν
κρείττω αὐτῶν, ἃ δύνανται ἐκφυγόντα εἰς σκέπην ἑαυτὰ ὠφελῆσαι.
68 [68]κατ᾽ οὐδένα οὖν τρόπον ἐστὶν ἡμῖν φανερὸν ὅτι εἰσὶν θεοί· διὸ
μὴ φοβηθῆτε αὐτούς.

69 [69]Ὥσπερ γὰρ ἐν σικυηράτῳ προβασκάνιον οὐδὲν φυλάσσον,
οὕτως οἱ θεοὶ αὐτῶν εἰσιν ξύλινοι καὶ περίχρυσοι καὶ περιάργυροι.
70 [70]τὸν αὐτὸν τρόπον καὶ τῇ ἐν κήπῳ ῥάμνῳ, ἐφ᾽ ἧς πᾶν ὄρνεον
ἐπικάθηται, ὡσαύτως δὲ καὶ νεκρῷ ἐρριμμένῳ ἐν σκότει ἀφωμοί-
71 ωνται οἱ θεοὶ αὐτῶν ξύλινοι καὶ περίχρυσοι καὶ περιάργυροι. [71]ἀπό
τε τῆς πορφύρας καὶ τῆς μαρμάρου τῆς ἐπ᾽ αὐτοῖς σηπομένης
γνώσεσθε ὅτι οὔκ εἰσιν θεοί· αὐτά τε ἐξ ὑστέρου βρωθήσονται,
72 καὶ ἔσται ὄνειδος ἐν τῇ χώρᾳ. [72]κρείσσων οὖν ἄνθρωπος δίκαιος
οὐκ ἔχων εἴδωλα, ἔσται γὰρ μακρὰν ἀπὸ ὀνειδισμοῦ.

60 και ult. > A || 61 νεφελη A† | τε] δε A: cf. 10 || 62 αυτων] pr. ενι A†, ενι τουτων Q || 63 κλητεον (cf. 39. 44)] εκλεκτ. A†: cf. 56 εκδεκτ. | υπαρχ. αυτους] tr. A† || 66 εν εθν. εν ουρ.] εν εθν. και εν ουρ. *C*†, εν ουρ. και εν εθν. A† | λαμψουσιν B†] ου μη εκλαμψουσιν A†, ου μη λαμψωσιν pl. | ουδε ult. (uel ουτε)] + μη A† | φωτιουσιν A | σελ.] pr. η A || 67 εστιν κρειττω (uel sim.)] tr. A† || 70 δε > A† || 71 επ αυτους B†, επ αυτων A† | γνωσθησεται B† | βρωθησ.] + απ αυτων A(†) | τη > A† || 72 γαρ] + αυτος A†
Subscr. επιστολη ιερεμιου B, ιερεμιας προφητης βαρουχ θρηνοι και επιστολη A†

## ΙΕΖΕΚΙΗΛ

1 [1]Καὶ ἐγένετο ἐν τῷ τριακοστῷ ἔτει ἐν τῷ τετάρτῳ μηνὶ πέμπτῃ

Ez.: BA (S periit). — in hoc libro Origenes permulta sub ※ (plerumque ex θ′) suppleuit, quae omnia in B desunt, multa in reliquis codicibus addita sunt, unde elucet reliquos codices textum ex *O* suppletum praebere; sed etiam B passim pendet ex *O*. — Corn. = Das Buch des Proph. Ezechiel hsg. v. Cornill (Lpz. 1886).
Inscr.] + προφητης ιε′ A
1 1 εν τω 2° > B*†